*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

*****************************************************************

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΑΚΟΛΟΥΘΙΑ

# ΕΙΣ ΤΟΝ ΕΝ ΟΣΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΑΘΑΝΑΣΙΟΝ

# ΤΟΥΠΙΚΛΗΝ ΧΑΜΑΚΙΩΤΗΝ

## ΤΟΝ ΙΕΡΕΑ ΤΗΣ ΝΕΡΑΤΖΙΩΤΙΣΣΗΣ

### ΚΑΙ ΚΤΙΤΟΡΑ ΤΗΝ ΙΕΡΑΣ ΜΟΝΗΣ ΦΑΝΕΡΩΜΕΝΗΣ

## ΡΟΔΟΠΟΛΕΩΣ ΑΤΤΙΚΗΣ

*

*

*    *    *    *    *

*

*

Ἀθῆναι 2014

# ΑΚΟΛΟΥΘΙΑ

# ΕΙΣ ΤΟΝ ΕΝ ΟΣΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΑΘΑΝΑΣΙΟΝ

# ΤΟΥΠΙΚΛΗΝ ΧΑΜΑΚΙΩΤΗΝ

## ΤΟΝ ΙΕΡΕΑ ΤΗΣ ΝΕΡΑΤΖΙΩΤΙΣΣΗΣ

### ΚΑΙ ΚΤΙΤΟΡΑ ΤΗΝ ΙΕΡΑΣ ΜΟΝΗΣ ΦΑΝΕΡΩΜΕΝΗΣ

## ΡΟΔΟΠΟΛΕΩΣ ΑΤΤΙΚΗΣ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΖ΄ Αὐγούστου**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

**********************************************
**********************

# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

**Β**λαστὲ Καλαβρύτων εὐθαλές,
τῆς Τουρλάδας καύχημα,
θεοειδὲς Ἀθανάσιε,
πίστεως σέμνωμα,
Ἱερέων κλέος
νεαυγῶν, ἐφώτισας
φωτὶ τοῦ σοῦ σεμνοῦ παραδείγματος
καὶ φρυκτωρήμασι
πατρικῶν σου ὑποδείξεων
τὰς χορείας
πιστῶν προστρεχόντων σοι.

**Σ**εμνόν, εὐσυμπάθητον, πραΰν,
ἄγαν ἀνεξίκακον,
διδακτικόν, φιλακόλουθον,

ἔμπλεων χάριτος,
μυστηρίων θείων
οἰκονόμον μέλψωμεν
λευΐτην ἀγαθὸν καὶ φιλάγιον
πάντες γηθόμενοι,
Νερατζιωτίσσης, σέμνωμα
Ἐκκλησίας,
σοφὸν Ἀθανάσιον.

Ἐν σκότει κειμένων φωτιστήν,
οἰκοδόμον ἄριστον
τῆς σωτηρίας τιμήσωμεν
νῦν Ἀθανάσιον,
τῶν ὀλιγοψύχων
θεῖον παραμύθιον,
ἀτάκτους νουθετοῦντα, στηρίζοντα
πάντα κλονούμενον,
ἀσθενῶν τὸν ἀντεχόμενον
καὶ πλουτοῦντα
πτωχούς τε καὶ πένητας.

Εὐχῆς ἐραστὴν καρδιακῆς,
ἀπαθείας σκήνωμα,
πνευματικὸν θεοφώτιστον
ἀνευφημήσωμεν
καὶ τῆς ἡσυχίας
φίλον, Ἀθανάσιον,
ὡς κτίτορα Σεμνείου θειότατον
τῆς Θεομήτορος,
ἐν τῇ Μπάλλᾳ, ᾧ προστρέχοντες
εὐθυμίας
καὶ σθένους πληρούμεθα.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τὸν ἱεροπρεπῆ καὶ μειλίχιον τοῦ Ἀμαρουσίου
λευΐτην,
ἀθορύβως ἐργασθέντα ἐν τῷ ἀγρῷ τοῦ Κυρίου
καὶ πολύχουν καρπὸν Αὐτῷ προσενεγκόντα,
Ἀθανάσιον τιμήσωμεν τὸν ἀοίδιμον
ὁλοθύμως ψάλλοντες·
Ὁ φωτίσας τοὺς ἐν σκότει καθημένους,
οἰκοδομήσας τοὺς ἐμπεριστάτους,
νουθετήσας τοὺς ἀτάκτους

καὶ παραμυθήσας τοὺς θλιβομένους,
δεῖξον ἡμῖν τὴν χάριν σου
καὶ σῶσον ἐκ θανάτου εὐχαῖς σου τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

**Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Χαῖρε, ὁ Ἱερεὺς
τῆς Νερατζιωτίσσης,
ὁ ταπεινὸς καὶ πρᾶος,
ὁ μέτοχος ἀῤῥήτου
εὐκλείας, Ἀθανάσιε.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαῖρε, πνευματικὲ
ἰθῦντορ τῶν ἀμνῶν σου
πρὸς οὐρανοῦ λειμῶνας,
Μονῆς Ἁγίας Λαύρας
οἰκῆτορ, Ἀθανάσιε.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαῖρε, ὁ τῆς Μονῆς
Φανερωμένης κτίτωρ
ἐν Ῥοδοπόλει, μάκαρ,
εὐχῆς ἀδιαλείπτου
πυξίον, Ἀθανάσιε.

**Δόξα. Τριαδικόν.**

Ἴθυνον πρὸς σκηνὰς
Σῆς ἀθάνατου δόξης
τοὺς πόθῳ Σε αἰνοῦντας,
Τριὰς ὑπεραγία,
ψαλμοῖς καὶ ὕμνοις πρέπουσι.

**Καὶ νῦν. Θεοτοκίον.**

Χαῖρε, Μῆτερ Θεοῦ,
σεμνὴ Φανερωμένη,
Ἀθανασίου σκέπη,
τοῦ νεαυγοῦς Ὁσίου,

Παρθένε παμμακάριστε.

Νῦν ἀπολύεις...**τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

**************************************************************************

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

**Φ**ανερωμένης Παρθένου
σεπτὸν δομήτορα
τοῦ Ἡσυχαστηρίου,
Ἀθανάσιον πάνυ,
τιμήσωμεν ἐν Μπάλλᾳ ὕμνοις πιστοὶ
ἀσκητὴν ὡς ἰσάγγελον
καὶ ἀπλανέστατον πάντων πρὸς οὐρανὸν
ποδηγέτην καὶ ἀλάνθαστον.

**Ἀ**θανασίας ταῖς τρίβοις
ἀκολουθήσαντα
νεότητος ἐκ χρόνων
ὁλοθύμως ἐν ὕμνοις,
τὸν γόνον Καλαβρύτων τὸν εὐθαλῆ
καὶ Μονῆς ἐνδιαίτημα
Ἁγίας Λαύρας, τιμήσωμεν εὐλαβῶς,
Ἀθανάσιον τὸν Ὅσιον.

**Ἀ**μαρουσίου τὸν δῆμον
ἱερωσύνῃ σου
καὶ συμπαθείας τρόποις
κατηγλάϊσας ἄρτι,
λευῗτα Ἐκκλησίας περικλεές,
θαυμαστὲ Ἀθανάσιε,
ὁ δείξας στίβον ἀγώνων σου τὸν Ναὸν
Νερατζιωτίσσης πάνσεπτον.

**Τ**οῦ Παπουλάκου τὸν ζῆλον,
συμπατριώτου σου,

μιμούμενος ἀρτίως
ἐκ νεότητος χρόνων
κατέλιπες Τουρλάδα καὶ τὴν Μονὴν
παλαισμάτων σου ἔδειξας
Ἁγίας Λαύρας κονίστραν, πάτερ σεπτέ,
στεφηφόρε Ἀθανάσιε.

Τὴν σὴν πανίερον μνήμην
πανηγυρίζοντες
καὶ τοὺς σεπτούς σου πόνους,
Ἀθανάσιε, ὕμνοις
τιμῶντες προσκυνοῦμεν πανευλαβῶς
τὴν σορὸν τῶν λειψάνων σου,
ἥνπερ κατέχει Σεμνεῖόν σου τὸ σεπτὸν
ὡς πολύτιμον θησαύρισμα.

Τὸν δαψιλῶς εἰληφότα
τῆς προοράσεως
τὴν χάριν οὐρανόθεν
εὐφημήσωμεν πόθῳ
καὶ πάντων ἀσθενούντων τὸν ἰατρόν,
θεαυγῆ Ἀθανάσιον,
ὡς θείας χάριτος σκήνωμα εὐπρεπὲς
καὶ ταμεῖον ὁσιότητος.

**Δόξα. Ἦχος πλ. β΄.**

Ἁμαρτανόντων τὸν ὁδηγὸν καὶ ὀρφανῶν προστάτην,
μιμητὴν τοῦ πράου καὶ ταπεινοῦ τῇ καρδίᾳ Κυρίου,
Ἀθανάσιον ὑμνήσωμεν ὡς ἱερέα ἡγιασμένον
ὀρθρίζοντα πρὸς Κύριον, οὕτω λέγοντες·
Πραέων ἐκτύπωμα καὶ πνευματικῶν πατέρων πρόβολε,
ὁ Θεῷ καὶ ἀνθρώποις εὐαρεστήσας ἀκραιφνεῖ πολιτείᾳ σου,
μιμητάς σου καὶ ἡμᾶς ἀνάδειξον τοὺς σὲ μεγαλύνοντας
καὶ τὰς λιτάς σου ἐκδεχομένους
πρὸς τὸν φιλάνθρωπον Θεάνθρωπον.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα·**

**Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα.**
**(Κεφ. β΄ 1 - 11 )**

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ' αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη ; Ἢ τίς ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν ; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. α΄ 1 - 10 )**

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ, οὐδὲ μὴ παροδεύσῃ αὐτὸν

ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ´ 1 - 9)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Ἰδιόμελα.**

**Ἦχος α´.**

Δεῦτε φιλεόρτων συστήματα ἐπαινέσωμεν
τὸν πρᾶον καὶ ταπεινὸν τῇ καρδίᾳ
ἱερομόναχον Ἀθανάσιον
ὡς ἐλέους καὶ οἰκτιρμῶν φρέαρ ἀκένωτον
καὶ φιλόστοργον ἀγκάλην τῶν πνευματικῶν αὐτοῦ τέκνων
ἐν εὐλαβείᾳ κραυγάζοντες·
Ἀσκητικοῦ μεγαλείου ἡ ἔκφρασις,
προσευχῆς καὶ ἀκραιφνοῦς πολιτείας ἡ ἔπαλξις,
Ὅσιε πάτερ,
στήριξον ἡμᾶς ἐν τῇ πίστει εὐχαῖς σου πρὸς Κύριον

καὶ σῶσον ἐκ θανάτου τὰ ψυχὰς ἡμῶν.

**Ἦχος β΄.**

Ἐκ μητρὸς κοιλίας ἡγιασμένον Καλαβρύτων γόνον,
Ἁγίας Λαύρας Μονῆς περιφανὲς σεμνολόγημα
καὶ Ἀμαρουσίου εὐχέτην πρὸς Κύριον,
Ἀθανάσιον, εὐσχημόνως τιμήσωμεν,
τὸν ὁσιώτατον ἱερέα, οὕτω λέγοντες·
Νερατζιωτίσσης διάκοσμε καὶ Ῥοδοπόλεως φύλαξ,
ὁ ἀπλανῶς ποδηγετήσας τοὺς σοὶ προστρέχοντας,
ῥῦσαι ἡμᾶς ἐπιβουλῆς τοῦ ἀλλοτρίου
εὐχαῖς σου πρὸς Ὕψιστον.

**Ἦχος γ΄.**

Τὸν τηρήσαντα ἄχρι τέλους
ἄσπιλον καὶ ἀνεπίληπτον τὴν παρακαταθήκην
καὶ Θεῷ εὐαρεστήσαντα ποιμαντικοῖς καὶ ἀσκητικοῖς καμάτοις,
Ἀθανάσιον, τὸν Ἁγιολαυρίτην ἱερομόναχον, τιμήσωμεν
ὡς ὑψηπέτην ἀετὸν τοῦ Παρακλήτου Πνεύματος·
οὗτος γὰρ ἐξ οὐρανίου ὕψους ἐποπτεύει τοὺς αὐτὸν εὐφημοῦντας
καὶ δέεται ἀπαύστως τοῦ Κυρίου τῆς δόξης ὑπὲρ πάντων ἡμῶν.

**Ἦχος δ΄.**

Εὐωδίας ἀρρήτου ἐπλήσθη ἡ Ῥοδόπολις
ἐν τῇ ἀνακομιδῇ τῶν χαριτοβρύτων λειψάνων σου,
πρᾶε καὶ ταπεινὲ Ἀθανάσιε·
πανευλαβῶς οὖν προσκυνοῦντες αὐτῶν τὴν θήκην
καὶ πνευματικῶς εὐφραινόμενοι
τὴν δυσωδίαν τῶν παθῶν ἀποβάλλομεν
καὶ δοξάζομεν Κύριον
τὸν σὲ μυροβλύτην ἀναδείξαντα.

**Δόξα. Ἦχος ὁ αὐτός.**

Τὸν διακονήσαντα ὡς ἔσχατον πάντων
ταῖς χρείαις τῶν πτωχῶν, καμνόντων καὶ ἐμπεριστάτων
καὶ ψυχὰς ἑλκύσαντα ἐκ τοῦ βυθοῦ ἁμαρτίας

πρὸς τὰς ἐπάλξεις τῆς ἀπαθείας,
Νερατζιωτίσσης τὸν ἱερέα, Ἀθανάσιον τὸν Ὅσιον, τιμήσωμεν
καὶ τὰς θεοπειθεῖς αὐτοῦ εὐχὰς ἐκζητήσωμεν λέγοντες·
Οὐρανοπολῖτα πανσεβάσμιε,
ὁ ἑαυτὸν κενώσας ταῖς τῶν πλησίον ἀνάγκαις
καὶ θεώσας τοὺς σοὶ καταφεύγοντας,
ἴθυνον καὶ τοὺς τιμῶντας τὴν μνήμην σου
πρὸς ἀρετῆς ὁλοκλήρωσιν καὶ βίον κρείττονα.

**Καὶ νῦν. Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

**Χ**αίροις, ὁ ταπεινόφρων, πραΰς,
ὁ φωτιστὴς διὰ τοῦ σοῦ παραδείγματος
καθεύδοντας ἐν σκοτίᾳ,
ἀτάκτους ὁ νουθετῶν,
τῶν δεινῶς ἀλγούντων
ἀντεχόμενος,
στηρίζων τῇ ῥάβδῳ σου
προσευχῶν τοὺς σοὺς πρόσφυγας,
ἰθύνων πάντας
πρὸς ἀθάνατον εὔκλειαν
καὶ δωρούμενος
πᾶσι πλοῦτον καρδίας σου,
πάνσοφε Ἀθανάσιε,
λευῗτα θειότατε
Ἀμαρουσίου καὶ Μάνδρας
τῆς Ῥοδοπόλεως ἄγρυπνε
φρυρὲ καὶ προστάτα,
ῥῦσαι νόσων δυσιάτων
τοὺς εὐφημοῦντάς σε.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

**Χ**αίροις, τῶν Καλαβρύτων βλαστός,
Ἀμαρουσίου Ἱερέων ὡράϊσμα,
πατέρων πνευματοφόρων
ἡ νεαυγὴς λαμπηδών,
ταπεινοφροσύνης

τὸ ἐκτύπωμα,
μειλίχιε, ἤπιε,
ἀνεξίκακε, ἄμεμπτε,
σεμνέ, θεόφρον,
θαυμαστὲ Ἀθανάσιε,
παναρμόνιον
ἀγαθότητος ὄργανον,
εὔφρανον τοὺς τιμῶντάς σε
ἐν ὕμνοις ἀείποτε
τῇ εὐωδίᾳ εὐχῶν σου
πρὸς τὸν φιλάνθρωπον Κύριον,
τὸν πέμποντα πᾶσιν
εὐσεβέσιν οὐρανόθεν
τὸ μέγα ἔλεος.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Μ**νήμην ἐπιτελοῦντες λαμπρῶς
τὴν σεβασμίαν σου, σεπτὲ Ἀθανάσιε,
καὶ θήκην τῶν σῶν λειψάνων
ἐν εὐλαβείᾳ πολλῇ
πάντες προσκυνοῦντες
μεγαλύνομεν
πληθὺν θαυμασίων σου,
καθαρότητα βίου σου,
διακονίαν
σὴν ἀνύστακτον, Ὅσιε,
πρὸς τοὺς κάμνοντας
καὶ σοφὰς νουθεσίας σου,
πάτερ πνευματοφόρητε,
καὶ πόθῳ κραυγάζομεν·
Φανερωμένης τῆς Μάνδρας
ἐν Ροδοπόλει καλλώπισμα
καὶ θεῖε δομῆτορ,
τὴν θεόσδοτόν σοι χάριν
ἡμῖν φανέρωσον.

**Δόξα. Ἦχος πλ. δ΄.**

**Σ**επτὲ οἰκονόμε τῶν τοῦ Θεοῦ μυστηρίων,
ἱεροπρεπέστατε Ἀθανάσιε,
Νερατζιωτίσσης λειτουργὲ πανσεβάσμιε,
πνευματικοῖς τρόποις πολλοὺς ὡδήγησας εἰς
μετάνοιαν

καὶ τὸν δόλιχον καλῶς διανύσας τοῦ βίου
κατήντησας εἰς ἀθανάτους σκηνώσεις καὶ θέωσιν·
ὅθεν χάριν εὑρὼν ὡς ἰσάγγελος
Κυρίῳ ἀδιαλείπτως πρεσβεύεις
ὑπὲρ τῶν ἐκθύμως τιμώντων σε
καὶ ἐν εὐλαβείᾳ προσκυνούντων τὴν σορὸν τῶν λειψάνων σου.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι...

**Ἀπολυτίκιον.Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Ἀθανάτων βραβείων δι’ ἀγαθότητα
ἀξιωθέντα λευΐτην
Ἀμαρουσίου σεμνόν,
Ἀθανάσιον, τιμήσωμεν ὡς Χάριτος
ῥεῖθρον ποτίζον εὐσεβῶν
τὰς καρδίας πρὸς καρπὸν
πολύφορον σωτηρίας
βοῶντες· Ἴσθι ἀκέστωρ
θερμὸς καὶ φύλαξ τῶν προσφύγων σου.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**

*********************************************

**********************

## Ε Ν   Τ Ω   Ο Ρ Θ Ρ Ω

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Πατέρων νεαυγῶν,
Ἀθανάσιε, κλέος,
λευῖτα ἱερέ,
τῆς πραότητος κέρας,
λαμπτὴρ ταπεινώσεως
καὶ ἁπλότητος σκήνωμα,
καθωδήγησας
Ἀμαρουσίου τοὺς δήμους
ἀπλανέστατα
πρὸς οὐρανίου ἐπάλξεις

ἀρτίως, πανεύφημε.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Φανέρωσον ἡμῖν
τὴν σὴν χάριν, Παρθένε,
προστρέχουσι πιστῶς
τῇ ἁγίᾳ Μονῇ σου
δοξάσαι τὸν Τόκον σου
καὶ ὑμνῆσαι τὸν κτίτορα
ταύτης, ὅσιον,
Φανερωμένη Κυρία,
Ἀθανάσιον,
οὗ ταῖς λιταῖς ἐπευλόγει
ἀπαύστως τοὺς δούλους σου.

**Μετὰ τὴν β´ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ´. Ταχὺ προκατάλαβε.**

Σεμνὲ Ἀθανάσιε,
ἀναστροφῆς ἐν Χριστῷ
ὁ φίλος, διέλαμψας
ἐν τοῖς ἐσχάτοις καιροῖς
ἀκτῖσι πραότητος
καὶ ἀνεξικακίας,
Ἱερεῦ θεοφόρε
τῆς Νερατζιωτίσσης,
καὶ δομῆτορ ἐν Μπάλλᾳ
Μονῆς Φανερωμένης σεπτῆς,
πάτερ ἀοίδιμε.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Εὐλόγει σοὺς πρόσφυγας,
Φανερωμένη, ἀεὶ
καὶ ῥύου στενώσεων
καὶ πειρασμῶν τοὺς πιστῶς
ὑμνοῦντας τὴν χάριν σου,
πάνσεμνε Θεοτόκε,
ἀντιλῆπτορ ταχεῖα
πάντων τῶν ἐν ἀνάγκαις
καὶ ἀκέστορ νοσούντων
λιταῖς Ἀθανασίου Μονῆς
θείας σου κτίτορος.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Τὸν ἀνεξίκακον, διδακτικώτατον,
καὶ ἐν πραΰτητι πιστοὺς παιδεύοντα,
Ἀμαρουσίου τῶν πιστῶν ἀλάνθαστον ποδηγέτην,
ὕμνοις Ἀθανάσιον θεοφόρον, τιμήσωμεν
ὡς ἱερομόναχον ταπεινὸν καὶ φιλάνθρωπον
ἐν ἄκρᾳ εὐλαβείᾳ βοῶντες· Χαῖρε, σεπτὲ ἱερομύστα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς Χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον·**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Εὐαγγέλιον Ὁσιακόν (Λουκ. στ΄ 17 - 23).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...
**Ζήτει τῇ Παρασκευῇ τῆς Β΄ Ἑβδομάδος.**
**Ὁ Ν΄ Ψαλμός.**

**Δόξα.** Ταῖς τοῦ Σοῦ Ὁσίου, πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

Δεῦτε πάντες ὀφειλετικῶς εὐπρεπίσωμεν
κανίσκιον ὕμνον τῷ Ὁσίῳ τῆς Νερατζιωτίσσης Γέροντι,
ἱεροπρεπεῖ Ἀθανασίῳ, τῷ κεχαριτωμένῳ δομήτορι
τοῦ ἐν Ῥοδοπόλει Ἡσυχαστηρίου τῆς Φανερωμένης Θεοτόκου,
καὶ οὕτως εἴπωμεν·
Εὐσυμπάθητε καὶ πανσεβάσμιε πάτερ,
ὁ Θεῷ καὶ ἀνθρώποις εὐαρεστήσας,
Αὐτὸν καὶ νῦν δυσώπει ὑπὲρ τῶν ἐκθύμως τιμώντων σε.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς·**

**" Ἀθανασίου, Ἱερέως Ἀμαρουσίου, αἶνος. Χ. Μ "**

**ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

**Ἀ**φθίτου λαμπρότητος
τὸν ἀπολαύοντα μέλψωμεν,
σεπτὸν Ἀθανάσιον,
ἐν ταῖς τοῦ πόλου σκηναῖς
ὡς θειότατον
τῆς Νερατζιωτίσσης
λευΐτην καὶ χάριτος
θείας θησαύρισμα.

**Θ**εοῦ φίλε γνήσιε,
τῶν Καλαβρύτων ἐκβλάστημα,
Τουρλάδα σεμνύνεται
τοῖς σοῖς σπαργάνοις, σεπτὲ
Ἀθανάσιε,
καὶ τῆς Ἁγίας Λαύρας
Μονῇ μετανοίᾳ σου,
πάτερ ἰσάγγελε.

**Ἀ**σκήσει ἐμάρανας
συντόνῳ, πάτερ, σκιρτήματα
σαρκὸς ἐκ νεότητος
καὶ τὸν σὸν νοῦν πρὸς Θεόν,
Ἀθανάσιε,
ἐπτέρωσας ἐν χρόνοις
ἐσχάτοις γενόμενος
χάριτος ἔμπλεως.

**Θεοτοκίον.**

**Ν**ικήτορας δούλους σου
κατὰ παθῶν, παντευλόγητε
Παρθένε, ἀνάδειξον
τοὺς καθ’ ἑκάστην λαμπρῶς
μακαρίζοντας
ὡς δωρεῶν σε θείων
ταμεῖον ἀσύλητον,
Θεογεννήτρια.

**Ὠδὴ γ´. Τοὺς σοὺς ὑμνολόγους.**

Ἀρνίου ἐν αἵματι πανάγνῳ,
ἐν τῆς μετανοίας τῷ λουτρῷ
καὶ τῶν δακρύων χεύμασι
καθάρας, Ἀθανάσιε,
ψυχὰς τῶν προστρεχόντων σοι
ἴθυνας ταύτας πρὸς θέωσιν.

Στηρίζων ἐν βίῳ κλονουμένους
οὐκ ἔπαυσας καὶ εὐεργετῶν
τοὺς ἐνδεεῖς καὶ πάσχοντας,
τρισμάκαρ Ἀθανάσιε,
ὁ συμπαθῶν τοῖς στένουσι
καὶ τοὺς ἀλγοῦντας ἰώμενος.

Ἰθύντωρ πιστῶν πρὸς σωτηρίαν
καὶ θέωσιν πάντων ἀπλανὴς
ἐδείχθης, Ἀθανάσιε,
ἱερομύστα πάνσοφε,

ὁ ὑποδείξας λόγοις σου
ὁδὸν στενὴν τοῖς σοῖς πρόσφυξι.

**Θεοτοκίον.**

Οἱ δῆμοι πιστῶν, Φανερωμένη,
ἑκάστοτε σπεύδοντες θερμῶς
τῇ θείᾳ προστασίᾳ σου
καὶ ἀντιλήψει, Δέσποινα,
λαμβάνομεν δωρήματα
ἐκ τῆς ἀγρύπνου προνοίας σου.

**Κάθισμα. Ἦχος γ´. Θείας πίστεως.**

Θείας χάριτος ἐμπεπλησμένον,
ἐνθεώτατον πιστῶν πατέρα
κατὰ πνεῦμα, ἱερέων εὐπρέπειαν,
κεκοσμημένον πραΰτητι μέλψωμεν
ὥσπερ φανὸν ταπεινώσεως πάμφωτον
πόθῳ κράζοντες· Πανίερε Ἀθανάσιε,
διάκοσμος Χριστοῦ ὑπάρχεις πίστεως.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Μητροπάρθενε Φανερωμένη,
περισκέπουσα καὶ εὐλογοῦσα
μὴ ἐλλείπῃς τοὺς πιστῶς σοι προσφεύγοντας
καὶ μεγαλύνοντας θείαν σου πρόνοιαν,
ἥνπερ δεικνύεις ἀπαύστως τοῖς δούλοις σου,
παντευλόγητε, ἑτοίμη βροτῶν βοήθεια
ἐν βίου συμφοραῖς καὶ περιστάσεσι.

**ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Ὑμνῳδίαις σε τιμῶμεν
μελιχραῖς, Ἀθανάσιε,
κεχαριτωμένε
καὶ ἡγιασμένε ἰσάγγελε
ἐκ τῆς κοιλίας μητρός σου, καὶ βοῶμέν σοι
μετὰ πίστεως·
Χαῖρε, πραέων ἐκτύπωμα.

Ἱερέων κοσμιότης
ταπεινῶν, Ἀθανάσιε,
τοῦ Ἀμαρουσίου
εὐγνωμόνως δῆμοι κανίσκιον
προσφέροντές σοι βοῶσι· Χαῖρε, στήριγμα
ἀδιάσειστον
τῶν προσφευγόντων σῇ χάριτι.

Ἐπεζήτει νουθεσίας
σὰς σοφὰς Ἐπιφάνιος
ὁ ἱεροφάντης
καὶ πνευματικὸς ὁ θεόσοφος
τῶν Ἀθηνῶν, Ἀθανάσιε, καὶ ἔσπευδεν
ὑπαντῆσαί σοι
καὶ γνώμην θείαν σου δέξασθαι.

**Θεοτοκίον.**

Ῥύπον κάθαρον σῶν δούλων
ῥαντισμῷ σῶν δεήσεων
ῥυπτικῶν πταισμάτων,
πρὸς τὸν σὸν Υἱόν, Μητροπάρθενε,
Φανερωμένη Κυρία, τὸν ἐκπλύναντα

ἀνομήματα
βροτῶν Αὐτοῦ θείοις αἵμασι.

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Ἐλλόγου ἀγέλης σου
ἰθῦντορ ἀπλανέστατε,
πάτερ Ἀθανάσιε, πρὸς πόλου
τερπνοὺς λειμῶνας,
ἐν τοῖς ἐσχάκοις καιροῖς
τὸ κράτος τοῦ Λόγου τοῦ Θεοῦ
πίστει ἐμεγάλυνας,
ἱερεῦ θεοείκελε.

Ὡράϊσμα πίστεως,
τρισμάκαρ Ἀθανάσιε,
σὺν τῷ αὐταδέλφῳ σου εἰς Λαύραν
ἦλθες Ἁγίαν,
ἔνθα κανὼν μοναστῶν
ἐπώφθης καὶ χάριτι Θεοῦ
ἱερεὺς γενόμενος
ἐλειτούργεις ὡς ἄγγελος.

Σοφίας τῆς κρείττονος
ταμεῖον, Ἀθανάσιε,
τῆς Μεταμορφώσεως Σωτῆρος
παρὰ τὴν Μάνδραν
τῆς Ἀττικῆς τὸν Ναὸν
κατέλαβες, ἔνθα ταῖς Γραφαῖς
ταῖς σεπταῖς ἐσχόλαζες
καὶ προσηύχου θερμότατα.

**Θεοτοκίον.**

Ἀπείρανδρε Δέσποινα,
Φανερωμένη ἄχραντε,
Κεχαριτωμένη Θεοτόκε,
Ἀθανασίου,
σῆς φερωνύμου Μονῆς
πρεσβείαις τοῦ κτίτορος παθῶν
χαμαιζήλων δούλους σου
ἀνωτέρους συντήρησον.

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Μισήσας πάντα τὰ ῥέοντα
ἀῤῥεύστων ζηλωτὴς ἐχρημάτισας
καὶ ἰσοστάσιος
Ἀγγέλων, πάτερ πανίερε,
ἐδείχθης πολιτείᾳ
σῇ, Ἀθανάσιε.

Ἀθανασίας φερώνυμε,
Μονὴν ἐν Ῥοδοπόλει ἐδόμησας,
ἣν, Ἀθανάσιε,
τάφῳ σεπτῷ σου ἡγίασας
καὶ νῦν καθαγιάζεις
σορῷ λειψάνων σου.

Ῥοαῖς τῶν σῶν, Ἀθανάσιε,
δακρύων κατεπίανας, Ὅσιε,
Νερατζιώτισσαν,
ἐν ᾗ πολύχουν ὡς ἄσταχυν
προσήνεγκας Κυρίῳ
ψυχῶν μετάνοιαν.

**Θεοτοκίον.**

Ὁδήγει πάντας ἱκέτας σου,
σεμνὴ Φανερωμένη, πρὸς θέωσιν
τοὺς μεγαλύνοντας
λαμπρῶς πληθὺν θαυμασίων σου
λιταῖς Ἀθανασίου,
Μονῆς σου κτίτορος.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Πνευματοφόρων Ἱερέων τὴν εὐπρέπειαν,
κεκοσμημένον ταπεινώσει καὶ πραότητι,
εὖχος Νερατζιωτίσσης Ἀμαρουσίου
καὶ Μονῆς Φανερωμένης θεῖον κτίτορα
ἐπαινέσωσεν ἐκθύμως Ἀθανάσιον
πόθῳ κράζοντες· Χαίροις, Πάτερ πανίερε.

**Ὁ Οἶκος.**

Ἄγγελος σαρκοφόρος,
Ἀθανάσιε, ὤφθης,
πατέρων νεαυγῶν κοσμιότης,

ἀγαθὲ καὶ ἱεροπρεπὲς
Ἱερεῦ Ὑψίστου, ὁ Αὐτοῦ χάριτι
ἰθύνας εἰς μετάνοιαν
πιστοὺς πανευλαβῶς βοῶντας·

Χαῖρε, ὁ θεῖος Χριστοῦ λευΐτης·
χαῖρε, ὁ νέος πιστῶν μεσίτης.

Χαῖρε, Καλαβρύτων βλαστὸς ἱερώτατος·
χαῖρε, Χριστωνύμων ὁ φύλαξ ὁ ἄγρυπνος.

Χαῖρε, πάτερ ἀνεξίκακε, πρᾶε καὶ διδακτικέ·
χαῖρε, ἄνερ ἀνεπίληπτε, τῆς ἁπλότητος πυρσέ.

Χαῖρε, Ἀμαρουσίου τῶν πιστῶν ποδηγέτης·
χαῖρε, Πνεύματος θείου τιμαλφὴς μαργαρίτης.

Χαῖρε, ἀτάκτων θεία νουθέτησις·
χαῖρε, στενόντων πάντων ἀντίληψις·

Χαῖρε, Μονῆς κτίτορ Φανερωμένης·
χαῖρε, διπλῆς ἀγαπήσεως δείκτης·

Χαίροις, Πάτερ πανίερε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ιζ´ Αὐγούστου. Εἶτα λέγομεν·**

**Τ**ῇ ιζ´ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἀθανασίου, τοῦ ἀγαθοῦ τῆς Νερατζιωτίσσης Ἀμαρουσίου λευΐτου καὶ κτίτορος τοῦ ἐν Ῥοδοπόλει Ἀττικῆς Ἱεροῦ τῆς Φανερωμένης Ἡσυχαστηρίου.

**Στίχοι.**

**Ἀθανάτου τρυφῆς ἀπολαύεις, πάτερ,**
**Ἱερέων, Ἀθανάσιε, σεμνότης.**

**Συναξάριον.**

**Ὁ** Ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Ἀθανάσιος, τοὐπίκλην Χαμακιώτης, ἦν ἐκ τῆς κώμης Τουρλάδας τῶν Καλαβρύτων. Ἐγεννήθη ἐν ἔτει 1891 ἐξ εὐσεβῶν καὶ πτωχῶν γονέων, τοῦ Βασιλείου καὶ τῆς Κωνσταντίνας, καὶ κατὰ τὸ ἅγιον βάπτισμα ἔλαβε το ὄνομα Γεώργιος. Ἡγιασμένος ὢν ἐκ κοιλίας μητρὸς

ἦλθεν εἰς τὴν πλησιόχωρον Μονὴν τῆς Ἁγίας Λαύρας ἐν ἡλικίᾳ μόλις δέκα καὶ πέντε ἐτῶν. Μετὰ παρέλευσιν πενταετίας ἀπεστάλη εἰς τὴν ἐν Ἄρτῃ Ἱερατικὴν Σχολήν, ἔνθα ἐφοίτησε μεταξὺ τῶν ἐτῶν 1911 καὶ 1913.

Ἐπανακάμψας εἰς Ἁγίαν Λαύραν τὸ ἴδιον ἔτος ἐκάρη μοναχὸς λαβὼν τὴν κλῆσιν Ἀθανάσιος. Ἐν ἔτει 1916 ἐχειροτονήθη Διάκονος ὑπὸ τοῦ μητροπολίτου Καλαβρύτων καὶ Αἰγιαλείας Τιμοθέου, οὗ καὶ Ἀρχιδιάκονος ἐχρημάτισεν ἐπὶ ἓν ἔτος καὶ ἐν ἔτει 1921 Ἱερεὺς τοῦ Θεοῦ τοῦ Ὑψίστου ὑπὸ τοῦ αὐτοῦ Ἀρχιερέως, τοῦ δόντος αὐτῷ ἐν ἔτει 1930 τὸ χάρισμα τοῦ ἐξομολόγου. Διαπρέψας ἐν τῇ μοναχικῇ πολιτείᾳ, τῇ ὑπακοῇ καὶ τῇ ταπεινώσει Θεῷ καὶ ἀνθρώποις εὐηρέστησεν.

Ἐλθὼν διὰ λόγους ὑγιείας εἰς Ἀττικὴν ἐγκατεστάθη πρῶτον ἐν τῷ ἐν Βύρωνι Μετοχίῳ τῆς Ἀναλήψεως τῆς Ἱερᾶς Μονῆς Σίμωνος Πέτρας, εἶτα ἐν τῷ Ναῷ τῆς Μεταμορφώσεως τοῦ Σωτῆρος ἐν Βιλλιαρὶ Μάνδρας καὶ τρίτον ἐν ἔτει 1936 ἐν τῷ Ναῷ τῆς Νερατζιωτίσσης Ἀμαρουσίου, ἐν ᾧ παρέμεινεν ἐπὶ εἴκοσι καὶ ἑπτὰ συναπτὰ ἔτη ἐπιτελῶν μέγα πνευματικὸν ἔργον. Ἐν ἔτει 1963 ἠξιώθη δομῆσαι ἱερὸν Ἡσυχαστήριον ἐν Μπάλλᾳ ἢ Ῥοδοπόλει Ἀττικῆς τῇ Φανερωμένῃ Θεοτόκῳ, ἔνθα παρέμεινεν ποδηγετῶν τὴν αὐτοῦ γυναικείαν μοναστικὴν ἀδελφότητα ἄχρι τῆς ὁσιακῆς αὐτοῦ κοιμήσεως ἐν ἔτει 1967.

Παρέδωκε τὴν ἁγίαν αὐτοῦ ψυχὴν εἰς χεῖρας Θεοῦ ζῶντος, Ὃν ἠγάπησεν ἐξ ὅλης καρδίας καὶ ἐξ ὅλης ἰσχύος καὶ ἐξ ὅλης διανοίας, τῇ 17ῃ τοῦ προαναφερομένου αὐτοῦ ἔτους. Ἐκηδεύθη πανδήμως καὶ ἐτάφη ἐν τῷ περιβόλῳ τῆς Μονῆς. Τὰ χαριτόβρυτα αὐτοῦ λείψανα ἀνεκομίσθησαν τῇ 23ῃ Ὀκτωβρίου τοῦ σωτηρίου ἔτους 2014 καὶ ἀποθησαυρίζονται ἐν τῷ ὡς ἄνω Ἡσυχαστηρίῳ εὐωδίαν ἐκπέμποντα ἄῤῥητον. Ὁ Ὅσιος πατὴρ ἡμῶν Ἀθανάσιος διεκρίθη ὡς πνευματικὸς ποδηγέτης πλήθους πιστῶν, ἰδίᾳ τοῦ Ἀμαρουσίου, καὶ ὡς πατὴρ ἐλέους καὶ οἰκτιρμῶν κεκοσμημένος πραότητι, ἁπλότητι, ταπεινώσει, κενωτικῇ ἀγάπῃ καὶ εὐχῇ ἀδιαλείπτῳ.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ´. **Οὐκ ἐλάτρευσαν.**

Ὑμνῳδίαις σε
τιμῶμεν, Ἀθανάσιε,
τὸν διαπρέψαντα
ἀδιαλείπτῳ εὐχῇ,
εὐστόργῳ πατρότητι,
τρόπων ἁπλότητι,
ἀγαθότητι
καὶ νήψει ἐν τοῖς ἔτεσι
τοῖς ἐσχάτοις, θεοφόρε.

Στῦλε ἄσειστε
πτωχῶν ὑποστηρίξεως,
Χριστοῦ ἠγάπησας
πτωχείαν ὡς ἀληθῶς
καὶ πᾶσι μετέδωκας
ἐκ τῆς καρδίας σου
πλούτου, Ὅσιε,
ἀκρότης, Ἀθανάσιε,
τῆς κενωτικῆς ἀγάπης.

Ἱλαρώτατε
δοτὴρ καὶ εὐσυμπάθητε
πάτερ, ἐσκόρπισας
πνευματικοῖς σου υἱοῖς
κρυπτόμενον, Ὅσιε,
ἐν τῇ καρδίᾳ σου
πλοῦτον πίστεως
εἰς τὸν παντελεήμονα
Ἰησοῦν, Ὅνπερ ἠγάπας.

**Θεοτοκίον.**

Οὐ παυόμεθα,
Παρθένε, μακαρίζειν σε
ὡς καταφύγιον,
Φανερωμένη, πιστῶν,
ἐν βίου κακώσεσι
καὶ παραμύθιον
ἐν ταῖς θλίψεσι,
Θεογεννῆτορ, κλέϊσμα
ἱερὸν Ἀθανασίου.

**ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.**

Ὕψος ἐναρέτου πολιτείας
δυσπρόσιτον, Ἀθανάσιε, καὶ νήψεως,
χρυσοπτέρυξ πέφηνας
ἀετὸς τοῦ Πνεύματος,
ὁ κορυφὴν θεώσεως
ζητῶν ἐν βίῳ σου,
Ὑψίστου Λειτουργὲ Μυστηρίων
οἰκονόμε πάνυ
καὶ κεχαριτωμένε.

Ἄνθος ταπεινώσεως εὐῶδες,
καθήδυνας, Ἀθανάσιε, τοὺς σπεύδοντας
ταῖς ὀδμαῖς λειμῶνός σου
τῆς καρδίας, Ὅσιε,
ἐπαπολαῦσαι λόγων σου
τῆς ὡραιότητος
ἡδύτητα, σεπτὲ ποδηγέτα

τοῦ Ἀμαρουσίου
πιστῶν πρὸς σωτηρίαν.

Ἵλεων ἀπέργασαι τὸν Κτίστην
τοῖς πόθῳ σε ἀνυμνοῦσιν, Ἀθανάσιε,
ἰατρὸν ὡς τάχιστον
ἀσθενῶν, χαρίσματος
πυρσὸν τῆς διοράσεως,
ἀλεξιτήρτιον
πνευμάτων ἀκαθάρτων καὶ λύσιν
ἀτεκνίας πάντων
πιστῶς σοι προστρεχόντων.

**Θεοτοκίον.**

Νῦν, Φανερωμένη Θεοτόκε,
ὡς ὅρμον θαλαττευόντων ἀκλυδώνιστον
καὶ λιμένα εὔδιον
ποντουμένων ἅπαντες
σὲ ἀνυμνοῦντες σπεύδομεν
τῇ μεσιτείᾳ σου
πρὸς Τόκον σου τὸν ἅγιον, Μῆτερ
Κεχαριτωμένη,

ἡμῶν χαρᾶς αἰτία.

**Ὠδὴ θ΄. Ἅπας γηγενής.**

Ὄλβον ὡς σεπτὸν
Χριστοῦ θείας πίστεως
σὲ μακαρίζομεν,
πάτερ Ἀθανάσιε,
φιλανθρωπίας
φῶς παμφαέστατον,
πυξὶς πιστῶν ἀλάνθαστε
πρὸς ἀφθαρτότητα
καὶ ταμεῖον
ἀρετῶν ἀσύλητον,
ταπεινῶν ἱερέων εὐπρέπεια.

Σέ, τὸν τοῦ Καλοῦ
Ποιμένος ὁμόζηλον,
γνῶντα τὰ ἴδια
πρόβατα κατ’ ὄνομα
ὑμνολογοῦμεν
καὶ μεγαλύνομεν,
θεόφρον Ἀθανάσιε,
ἀγάπης σκήνωμα
καὶ δοχεῖον
Παρακλήτου Πνεύματος
διαυγές, ἱερεῦ ἐνθεώτατε.

Χαῖρε, ἀσκητά,
δι’ ὅνπερ σεμνύνεται
Νεραζιώτισσα,
λειτουργὲ ἰσάγγελε,
Ἀμαρουσίου
ἰθῦντορ ἄριστε
πιστῶν πρὸς ἀφθαρτότητα,
χαῖρε, μειλίχιε
ὑπηρέτα
τοῦ Χριστοῦ καὶ ἄοκνε
οἰκοδόμε ψυχῶν, Ἀθανάσιε.

**Θεοτοκίον.**

Μέμνησο ἡμῶν
πιστῶς προστρεχόντων σοι,

Θεογεννήτρια,
καὶ μακαριζόντων σε,
Φανερωμένη,
ὡς κόσμου στήριγμα
ἀσάλευτον, πανύμνητε,
καὶ καταφύγιον
ἐν κινδύνοις,
πειρασμοῖς καὶ θλίψεσι
ταῖς τοῦ βίου, σεμνὴ μητροπάρθενε.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Λουτὴρ ὡς Θείας Χάριτος
τῆς ἁμαρτίας βόρβορον
ἔπλυνας, Ὅσιε Πάτερ,
Ἀμαρουσίου ἐνοίκων
καὶ σαῖς ῥοαῖς ἡγίασας
δακρύων, Ἀθανάσιε
σεπτέ, Νερατζιώτισσαν
καὶ Μάνδραν Φανερωμένης,
ἧς πέλεις ἔνθεος κτίτωρ.

**Θεοτοκίον.**

Φανερωμένη Δέσποινα,
τοῦ κόσμου καταφύγιον
ἐν συμφοραῖς καὶ ἀνάγκαις,
Θεογεννῆτορ, μὴ παύσῃ
φρουροῦσα τοὺς ἱκέτας σου
καὶ ἐλεοῦσα ἅπαντας
Ἀθανασίου μέλποντας
κτίτορος θείου Μονῆς σου
τοὺς πανιέρους καμάτους.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. δ´. Ὢ τοῦ παραδόξου θαύματος!**

Ἄνθος Ὀρθοδόξου πίστεως,
ἡ βιοτή σου Χριστοῦ
εὐωδίας ὡς ἔμπλεως
εὐσεβεῖς κατηύφρανε,
θαυμαστὲ Ἀθανάσιε,
ὀδμαῖς ἀῤῥήτοις

σῆς ἁγιότητος,
φιλανθρωπίας,
εὐχῆς πραΰτητος
καὶ ταπεινώσεως,
καὶ ἡ ἀγαθότης σου πάντων πιστῶν
δυσωδίαν ἔλυσε
παθῶν καὶ θλίψεων.

Ἄκμον ἀκριβείας πίστεως,
βάθρον στεῤῥὸν ἀρετῆς,
προσευχῆς ἐργαστήριον,
θησαυρὸς πραότητος,
λαμπηδὼν ταπεινώσεως,
Χριστοῦ πτωχείας
εἰκὼν ὑπέρφωτος
καὶ ἀκτησίας
ἐδείχθης μέλαθρον
ὄντως χρυσότευκτον,
πάτερ Ἀθανάσιε,
πνευματικὲ
ποδηγὲ πρὸς θέωσιν
πιστῶν προσφύγων σου.

Θήκην τῶν σεπτῶν λειψάνων σου,
τὴν εὐωδίαν τερπνὴν
διαχέουσαν ἅπασι,
πίστει ἀσπαζόμενοι,
ἱερὲ Ἀθανάσιε,
ἐν τῷ Σεμνείῳ
τῆς Ῥοδοπόλεως,
ὅπερ ἰδίοις
καμάτοις ἔκτισας,
σθένους πληρούμεθα
θείου καὶ δυνάμεως τοῦ πονηροῦ
ἐπηρμένον φρύαγμα
συντρίψαι τάχιστα.

Μνήμην τὴν σεπτήν σου ἄγοντες,
ἱεροφάντορ σεμνέ,
ταπεινὲ Ἀθανάσιε,
εὐσεβῶν οἱ σύλλογοι
ἀνυμνοῦμεν καμάτους σου
τοὺς νυχθημέρους

ἐκ σῆς νεότητος
τῶν χρόνων, πάτερ,
πρὸς ὁλοκλήρωσιν
καὶ καθοδήγησιν
τῶν πιστῶς σπευδόντων σοι πρὸς σωστικὴν
ἀραπὸν καὶ θέωσιν,
θεοφορούμενε.

**Δόξα. Ἦχος πλ. α΄.**

**Τ**ὸ μονάσαν στρουθίον Νερατζιωτίσσης ἐπὶ δώματος,
κελαδήσαντα πιστοῖς σωτηριώδη μετάνοιαν,
ἀλληλεγγύην καὶ κενωτικὴν ἀγάπην,
πνευματικὸν Ἀμαρουσίου πατέρα εὐφημήσωμεν,
Ἀθανάσιον τὸν ἀεισέβαστον, κράζοντες·
Ὁ τῶν πιστῶν στηριγμὸς καὶ ποδηγέτης,
ὁ καλύψας πλήθη τῇ σκέπῃ τῶν τῆς συμπαθείας σου πτερύγων,
περίσκεπε καὶ περιφρούρει ἐξ ὕψους εὐκλείας σου
τοὺς σὲ εὐλαβῶς μακαρίζοντας.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ 'Απόλυσις.**

*****************************************************

## Ε Ν  Τ ΗΙ  Λ Ε Ι Τ Ο Υ Ρ Γ Ι ΑΙ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Ἀπόστολος· πρὸς Γαλάτας. (Κεφ. ε΄ 22 - στ΄ 2 ).**
Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστι, χαρά,...
**Ζήτει τῷ Σαββάτῳ τῆς ΚΖ΄ Ἑβδομάδος.**

**Εὐαγγέλιον· κατὰ Λουκᾶν. (Κεφ. ιγ΄ 17 - 23 ).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...
**Ζήτει τῇ Πέμπτῃ τῆς Δ΄ Ἑβδομάδος.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.**

**Μεγαλυνάριον.**

Χαίροις, ταπεινώσεως ἡ εἰκών,
ἐλεημοσύνης,
Ἀθανάσιε, ὁ λειμών,
Νερατζιωτίσσης
ὁ ἱερὸς λευΐτης
καὶ ἀπλανὴς ἰθύντωρ
πάντων πρὸς θέωσιν.

**Τρισσεῦον Κύριε Ἐλέησον Λιτῆς Ἁγίου Ὄρους.**

**Πάτερ *Ἀθανάσιε** * Ἱερεῦ ἰσάγγελε * ῥῦσαί με στενώσεως.**

**Δίστιχον.**

**Ἀθανάσιον ᾖσε Κυρίλλου χάριν,**
**Νερατζιωτίσσης εὖχος, Χαραλάμπης.**

**Τ Ε Λ Ο Σ   Κ Α Ι   Δ Ο Ξ Α**

**Τ Ω   Μ Ο Ν Ω   Α Λ Η Θ Ι Ν Ω   Θ Ε Ω   Η Μ Ω Ν**

**Ἀριθμ. Καταλ. Α 725 / 11-11-14**